ePublishing


# Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας

Τόμ. 2 (1894)

Δελτίον ΧΑΕ 2 (1892-1894), Περίοδος Α'





## Επιστολή Πατριάρχου Ιεροσολύμων Γερασίμου

*Γεράσιμος ΠΑΤΡΙΑΡΧΗΣ ΙΕΡΟΣΟΛΥΜΩΝ*

doi: 10.12681/dchae.1534

**Βιβλιογραφική αναφορά:**

ΠΑΤΡΙΑΡΧΗΣ ΙΕΡΟΣΟΛΥΜΩΝ Γ. (1894). Επιστολή Πατριάρχου Ιεροσολύμων Γερασίμου. *Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας*, *2*, 147–148. https://doi.org/10.12681/dchae.1534

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 22/01/2025 10:04:24

ΔΕΛΤΙΟΝ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

# Επιστολή Πατριάρχου Ιεροσολύμων Γερασίμου

ΓΕΡΑΣΙΜΟΣ, ΠΑΤΡΙΑΡΧΗΣ ΙΕΡΟΣΟΛΥΜΩΝ

Δελτίον ΧΑΕ 2 (1892-1894), Περίοδος Α'• Σελ. 147-148

**ΑΘΗΝΑ 1894**

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE
ePublishing

www.deltionchae.org

'Αριθ. 182

*Γεράσιμος Ἐλέῳ Θεοῦ πατριάρχης τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.*

Εὐγενέστατε Πρόεδρε τῆς «Χριστιανικῆς Ἀρχαιολογικῆς Ἑταιρείας» καὶ ἐν Χριστῷ τῷ Θεῷ ἠγαπημένε καὶ περισπούδαστε Υἱὲ τῆς Ἡμῶν Μετριότητος, Κύριε Ἀριστείδη Παππούδωφ. Τὴν Ὑμετέραν πεφιλημένην Ἡμῖν εὐγένειαν ἀπὸ καρδίας εὐχόμενοι, πατρικῶς εὐλογοῦμεν.

Κομισάμενοι τὴν ὑπ' ἀριθ. 370 καὶ ἀπὸ 7ης Δεκεμβρίου τοῦ παρελθόντος ἔτους περισπούδαστον ἐπιστολὴν τῆς Ὑμετέρας Εὐγενείας, συμπαρελάβομεν καὶ τὸ ἐπίσημον δίπλωμα, δι' οὗ ἡ ὑπὸ τὴν Ὑψηλὴν προστασίαν τῆς Μεγαλειοτάτης καὶ Σεπτῆς Βασιλίσσης τῶν Ἑλλήνων «Χριστιανικὴ Ἀρχαιολογικὴ Ἑταιρεία», συγχαίρουσα Ἡμῖν ἐπὶ τῇ ἀναρρήσει Ἡμῶν ἐπὶ τὸν θρόνον Ἱεροσολύμων, ἐξελέξατο παμψηφεὶ τὴν Ἡμῶν Μετριότητα μέλος αὐτῆς Ἐπίτιμον. Βαθέως οὖν συγκεκινημένοι ἐπὶ τῇ ἀληθῶς ἐξόχῳ ταύτῃ τιμῇ, δι' ἧς ἔγνω ἐκδηλῶσαι τὴν ἐφ' Ἡμῖν χαρὰν Ἑταιρεία, ἀπὸ τοῦ ἄνθους μὲν τῶν ἐν Ἑλλάδι εὐσεβῶν συγκεκροτημένη, τῆς εὐπρεπείας γε τοῦ Οἴκου τοῦ Κυρίου καταστοχαζομένη, ἀπὸ καρδίας μὲν εὐχαριστοῦμεν τῇ ἐπαξίως προεδρευούσῃ αὐτῆς Ὑμετέρᾳ Εὐγενείᾳ, ἐν πατρικῇ δ' ἀγάπῃ παρακαλοῦμεν Αὐτὴν ἐκφράσαι τὰς ἐξ ὅλης καρδίας εὐχαριστίας Ἡμῶν

καὶ πᾶσι τοῖς ἀξιοτίμοις καὶ διαπρεπέσιν Ἑταίροις, τοῖς τηλικαύτῃ ἀγάπῃ Ἡμᾶς τετιμηκόσι.

Καίτοι δ' ἀποροῦμεν πῶς ποτε ἔσται Ἡμῖν ἐφικτὸν ἐν ταῖς περισυνεχούσαις πάντοθεν Ἡμᾶς περιπετείαις συντελέσαι ἔστω καὶ κατὰ σμικρὸν εἰς εὐόδωσιν τοῦ εὐσεβοῦς ἔργου τῆς Ἑταιρείας καὶ δικαιῶσαι τὴν παμψήφεὶ παρ' Αὐτῆς ἀποδεδομένην Ἡμῖν τιμήν, τῆς γε μέντοι προθυμίας μὴ ἐστερημένοι, συχνὴν μέλλομεν ἀναφέρειν τῷ Πρυτάνι τῶν ἀγαθῶν Θεῷ τὴν ὑπὲρ αὐτῆς δέησιν, αἰτούμενοι παρ' αὐτοῦ ἐνισχύειν μὲν τοὺς συγκροτοῦντας αὐτὴν ζηλωτὰς ἐν παντὶ ἀγαθῷ καὶ τῇ θείᾳ αὐτοῦ χάριτι χειραγωγεῖν αὐτοὺς ἀσφαλῶς ἐπὶ βεβαίαν καὶ παντελῆ ἐπιτυχίαν, καταξιῶσαι δὲ καὶ Ἡμᾶς μὴ τέλεον ὑστερῆσαι τῆς ὀφειλομένης συμπράξεως ἐν ἔργῳ οὕτωσὶ ἱερῷ καὶ θεαρέστῳ.

Ἐπὶ τῇ ἐνθέρμῳ ταύτῃ εὐχῇ, ἐκφράζοντες καὶ ἣν ἔχομεν βεβαίαν ἐλπίδα, ὅτι ἡ «Χριστιανικὴ Ἀρχαιολογικὴ Ἑταιρεία», τῆς χάριτος ἠξιωμένη τοῦ ἀπολαύειν εὐσεβοῦς ἅμα καὶ κραταιᾶς προστασίας παρ' Ἀνάσσης φιλοθέου καὶ τὸ φιλόθεον καταγλαϊζούσης σύστημα, πάντων εὐπορήσει τῶν ἐπιτηδείων πρὸς ἐνδελεχῆ καὶ δαψιλῆ ἐν τῇ ἐκκλησίᾳ καρποφορίαν, εὐχόμεθα ἐξ ὅλης ψυχῆς ὑπὲρ εὐδαίμονος καὶ εὐκλεοῦς μακροημερεύσεως τῆς *Αὐτῆς Μεγαλειότητος*, καὶ εὐλογοῦντες ἄνθις τήν τε Ὑμετέραν Εὐγένειαν καὶ πάντας τοὺς Ἑταίρους, ἐπικαλούμεθα ἐπ' αὐτοὺς πλουσίας τὰς εὐλογίας τοῦ Οὐρανίου Πατρὸς, ὅπως ἀσφαλῶς συμβάλλωσιν εἰς δόξαν τοῦ προσκυνητοῦ Αὐτοῦ ὀνόματος. Ἀμήν.

*Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλὴμ απηβ'. Φεβρουαρίου κδ'.*

† Ὁ Ἱεροσολύμων ἐν Χριστῷ διάπυρος Εὐχέτης